235-38 μ.Χ.

Μαξιμῖνος αὐτοκράτωρ. Σαρμάται

Ἡρωδιανοῦ ἱστορ. βιβλ. ζ. σ. 137 ἐκδ. Βιπ.

Ἦν δέ τις ἐν τῷ στρατῷ Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος τῶν ἐνδοτάτω Θρᾳκῶν καὶ μιξοβαρβάρων, ἀπό τινος κώμης, ὡς ἐλέγετο, πρότερον μὲν ἐν παιδὶ ποιμαίνων· ἐν ἀκμῇ δὲ τῆς ἡλικίας γενόμενος, διὰ μέγεθος καὶ ἰσχὺν σώματος εἰς τοὺς ἱππεύοντας στρατιώτας καταταγείς. εἶτα κατ' ὀλίγον αὐτὸν χειραγωγούσης τῆς τύχης, ἦλθεν διὰ πάσης τάξεως στρατιωτικῆς, ὡς στρατοπέδων τε ἐπιμεληθῆναι, τῶν ἐθνῶν τε ἀρχὰς ἐγχειρισθῆναι. [illegible] τὸν Μαξιμῖνον [illegible] διὰ τὴν προειρημένην στρατιωτικὴν ἐμπειρίαν ὁ Ἀλέξανδρος ἐπέστησε πάσῃ τῇ στρατευομένῃ νεολαίᾳ, ὡς ἀσκοίη τε αὐτοὺς τὰ στρατιωτικὰ καὶ ἐς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. ὁ δέ, μετὰ πάσης ἐπιμελείας ποιούμενος τὰ ἐγχειρισθέντα, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο, οὐ μόνον διδάσκων αὐτοὺς τὰ ποιητέα, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων προηγούμενος· ὡς μὴ μαθητὰς εἶναι μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων προηγούμενος· ὡς μὴ μαθητὰς εἶναι μόνους, ἀλλὰ ζηλωτὰς καὶ μιμητὰς τῆς ἐκείνου ἀνδρείας. ἔτι δὲ καὶ δώροις αὐτοὺς καὶ παντοδαπαῖς τιμαῖς ᾠκειώσατο· ὅθεν οἱ νεανίαι ἐν οἷς ἦν τὸ πλεῖστον πλῆθος Παιόνων

Μαξιμῖνος αὐτοκράτωρ. 235-238 μ.Χ.

μάλιστα τῶν ἐτῶν κατ' ἀνδρείᾳ τῷ Μαξιμίνῳ ἔχαιρον τὸν δὲ Ἀλέξανδρον ἔσκωπτον, ὡς ὑπὸ τῆς μητρὸς ἀρχόμενον, καὶ διοικουμένων τῶν πραγμάτων ὑπ' ἐξουσίας τε καὶ γνώμης γυναικείας, ῥᾳθύμως τε ἢ ἀνάνδρως τῷ πολέμῳ προσφερομένου ἐκείνου. . . . .

. . . . . ὄντες ἐν τῇ ἄλλῃ ὥρᾳ ἐς τὰ συνήθη γυμνάσια . . . . ἔγνωσαν ἀποσκευάσασθαι μὲν τὸν Ἀλέξανδρον, ἀναδεῖξαι δὲ αὐτοκράτορα καὶ βασιλέα τὸν Μαξιμῖνον, ὁμοδίαιτον δὲ αὐτῶν ὄντα καὶ σύσκηνον, ἔς τε τὸν [illegible] πόλεμον δι' ἐμπειρίαν καὶ ἀνδρείαν ἐπιτήδειον δόξαντα. Ἀθροισθέντες οὖν εἰς τὸ πεδίον ὡπλισμένοι. . . . . ἤ παρόντα αὐτὸν τὸν Μαξιμῖνον εἴτε ἀγνοοῦντα τὸ πραττόμενον εἴτε λάθρᾳ τοῦτο προσυσκευασάμενον πορφύραν ἐπιβαλόντες βασιλικὴν αὐτοκράτορα ἀναγορεύουσιν

. . . .

σ. 161 ὁ δὲ Μαξιμῖνος παραλαβὼν τὴν ἀρχὴν πολλὴν μεταβολὴν ἐποιήσατο, τραχέως τε καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ χρώμενος· ἐκ δὲ πρᾳείας καὶ πάνυ ἡμέρου βασιλείας ἐς τυραννίδος ὠμότητα μεθαρμόζειν πάντα ἐπειρᾶτο . . . . φύσει δὲ καὶ τὸ ἦθος, ὥσπερ καὶ τὸ γένος βάρβαρος κτλ. κτλ.